**10.** *Καὶ ὁ Βόηθος ʽποῖον γάρʼ εἶπεν ʽὦ δαιμόνιε, τῇ φύσει πάθος ὁ χρόνος οὐκ ὀφείλει; τί δʼ ἔστι τῶν ἀτόπων* F *καὶ ἀπροσδοκήτων περὶ γῆν ἢ θάλατταν ἢ πόλεις ἢ ἄνδρας, ὅ τις ἂν προειπὼν οὐ τύχοι γενομένου; καίτοι τοῦτό γε σχεδὸν οὐδὲ προειπεῖν ἔστιν ἀλλʼ εἰπεῖν, μᾶλλον δὲ ῥῖψαι καὶ διασπεῖραι λόγους οὐκ ἔχοντας ἀρχὴν εἰς τὸ ἄπειρον· οἷς πλανωμένοις ἀπήντησε πολλάκις ἡ τύχη καὶ συνέπεσεν αὐτομάτως. διαφέρει γὰρ οἶμαι γενέσθαι τὸ ῥηθὲν ἢ ῥηθῆναι τὸ γενησόμενον. ὁ γὰρ εἰπὼν τὰ μὴ ὑπάρχοντα λόγος ἐν ἑαυτῷ τὸ ἡμαρτημένον ἔχων οὐ δικαίως ἀναμένει τὴν ἐκ τοῦ αὐτομάτου πίστιν | οὐδʼ* **399** *ἀληθεῖ τεκμηρίῳ χρῆται τοῦ προειπεῖν ἐπιστάμενος ⟨τῷ⟩ μετὰ τὸ εἰπεῖν γενομένῳ, πάντα τῆς ἀπειρίας φερούσης· μᾶλλον δʼ ὁ μὲν ʽεἰκάζων καλῶςʼ, ὃν ʽἄριστον μάντινʼ ἀνηγόρευκεν ἡ παροιμία* (Eur. fr. 973), *ἰχνοσκοποῦντι καὶ στιβεύοντι διὰ τῶν εὐλόγων τὸ μέλλον ὅμοιός ἐστι, Σίβυλλαι δʼ αὗται καὶ Βάκιδες ὥσπερ εἰς πόντον ἀτεκμάρτως τὸν χρόνον κατέβαλον καὶ διέσπειραν ὡς ἔτυχε παντοδαπῶν ὀνόματα καὶ ῥήματα παθῶν καὶ συμπτωμάτων· ⟨ἐν⟩ οἷς γιγνομένων ἐνίων ἀπὸ τύχης ὁμοίως ψεῦδός ἐστι τὸ νῦν λεγόμενον, κἂν ὕστερον ἀληθές, εἰ τύχοι, γένηται.ʼ*

**11.** *Τοιαῦτα τοῦ Βοήθου διελθόντος ὁ Σαραπίων ʽδίκαιονʼ ἔφη ʽτὸ ἀξίωμα περὶ τῶν οὕτως, ⟨ὡς⟩ λέγει Βόη-* B *θος, ἀορίστως καὶ ἀνυποθέτως λεγομένων, ⟨οἷον⟩ εἰ νίκη στρατηγῷ προείρηται ⟨καὶ⟩ νενίκηκεν, εἰ πόλεως ἀναίρεσις ⟨καὶ⟩ ἀπόλωλεν· ὅπου δʼ οὐ μόνον λέγεται τὸ γενησόμενον, ἀλλὰ καὶ πῶς καὶ πότε καὶ μετὰ τί καὶ μετὰ*